UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XVII. Epistola Constantini ad Ecclesias de Synodo Nicaena.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅπως τοῖς Ἐπισκόποις συνειστιάθη Κωνσταντῖνος εἰκοσαετηρίδος οὔσης.

Κατὰ τὸ αὐτὸ δὲ αὐτῷ καὶ τῆς βασιλείας εἰκοσαετὴς ἐπληροῦτο χρόνος· ἐφ᾽ ᾧ πάνδημοι μὲν ἤγοντο πανηγύρεις τοῖς λοιποῖς ἔθνεσι. τοῖς δέ γε τοῦ Θεοῦ λειτουργοῖς, εὐωχίας αὐτὸς ἐξῆρχε βασιλεύς, συμποσιάζων εἰρηνεύσασι, καὶ οἱονεὶ θυσίαν ταύτην ἀποδιδοὺς ἐμπρέπουσαν τῷ Θεῷ δι᾽ αὐτῶν. οὐδ᾽ ἀπελείπετό τις Ἐπισκόπων βασιλικῆς ἑστιάσεως. κρεῖττον δ᾽ ἦν παντὸς λόγου τὸ γινόμενον. δορυφόροι μὲν γὰρ καὶ ὁπλῖται γυμναῖς ταῖς τῶν ξιφῶν ἀκμαῖς ἐν κύκλῳ τὰ πρόθυρα τῶν βασιλείων ἐφρούρουν. μέσοι δὲ τούτων ἀδεεῖς οἱ τοῦ Θεοῦ διέβαινον ἄνθρωποι, ἐνδοτάτω τῶν ἀνακτόρων ἐχώρουν. εἶθ᾽ οἱ μὲν αὐτῷ συνανεκλίνοντο. οἱ δ᾽ ἀμφὶ τὰς ἑκατέρων προσανεπαύοντο κλινάδας. Χριστοῦ βασιλείας ἔδοξεν ἄν τις φαντασιοῦσθαι εἰκόνα, ὄναρ τ᾽ εἶναι ἀλλ᾽ οὐχ ὕπαρ τὸ γινόμενον.

## CAPUT XV.

*Quomodo Constantinus vicennalibus suis Episcopos convivio exceperit.*

Eodem tempore vicesimus Imperii ejus annus complebatur. Cujus rei causâ cùm in omnibus provinciis publicæ festivitates agerentur, Imperator Dei ministros ad convivium vocavit; & cum iisdem jam inter se conciliatis epulatus, hoc velut conveniens sacrificium per illos obtulit Deo. Neq; ullus Episcoporum ab hoc Imperiali convivio abfuit. Res porrò ipsa omnem B dicendi copiam longè superabat. Protectores enim & milites in orbem dispositi, strictis gladiis palatii vestibulum custodiebant. Homines autem Dei per medium illorum absq; ullo metu transibant, & ad intima usque palatii penetralia ingrediebantur. Ex his deinde alii unà cum Imperatore accubuerunt: alii in stibadiis utrimque dispositis discubuere. Prorsus imago quædam Regni Christi adumbrari, résque ipsa somnio quàm veritati propior videbatur.

C

## ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Χαρίσματα Ἐπισκόποις, καὶ γράμματα πρὸς τοὺς πάντας.

Ἐπεὶ δὲ λαμπρῶς τὰ τῆς εὐωχίας προὐχώρει, ἔτι καὶ τοῦτο βασιλεὺς δεξιούμενος τοὺς πάντας προσετίθει, μεγαλοψύχως ἕκαστον κατὰ τὴν πρέπουσαν ἀξίαν τοῖς παρ᾽ αὐτοῦ τιμῶν ξενίοις. τῶν δὲ συνόδου ταύτης, καὶ τοῖς μὴ παροῦσι τὴν μνήμην δι᾽ οἰκείου παρεδίδου γράμματος. ὃ δὴ καὶ αὐτό, ὥσπερ ἐν στήλῃ τῇδε τῇ περὶ αὐτοῦ συνάψω διηγήσει, τοῦτον ἔχον τὸν τρόπον.

## CAPUT XVI.

*Munera Episcopis donata, & literæ ad omnes scriptæ.*

Celebratis splendidissimo apparatu conviviis; Imperator cunctos liberaliter excipiens, id etiam pro sua magnificentia adjecit, ut unumquemque pro meritis ac dignitate muneribus honoraret. Eos quoque qui huic Synodo minimè interfuissent, de rebus in ea gestis certiores fecit per literas: quas in hoc Opere, tanquam in tabula quadam incisas proponam. Sunt autem hujusmodi:

D

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Κωνσταντίνου πρὸς τὰς ἐκκλησίας περὶ τῆς ἐν Νικαίᾳ συνόδου.

Κωνσταντῖνος Σεβαστὸς ταῖς ἐκκλησίαις.

Πεῖραν λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραξίας, ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις, τοῦτον πρὸ γε πάντων ἔκρινα εἶναί μοι προσήκειν σκοπόν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς ἐκκλησίας πλήθεσι, πίστις μία καὶ εἰλικρινὴς ἀγάπη, ὁμογνώμων τε περὶ τὸν παγκρατῆ Θεὸν εὐσέβεια τηρῆται. ἀλλ᾽ ἐπειδὴ τοῦτ᾽ οὐχ οἷόν τε ἦν ἀκλινῆ καὶ βεβαίαν τάξιν

## CAPUT XVII.

*Epistola Constantini ad Ecclesias de Synodo Nicæna.*

*Constantinus Augustus Ecclesiis.*

Cum ex prospero Reipublicæ statu compertum haberem, quanta fuisset erga nos omnipotentis Dei benignitas; in hoc præcipuè mihi elaborandum esse existimavi, ut à sanctissimis Ecclesię Catholicæ populis una fides, sincera caritas, & consona erga omnipotentem Deum religio servaretur. Sed quoniam fieri nō poterat ut ea res firmè ac stabiliter constitueretur, nisi omnibus Episco-

pis, vel certè plurimis eorum in unum congregatis, singula quæ ad sacratissimam religionem pertinent disceptata prius fuissent: hanc ob causam coactis quàm fieri potuit plurimis Sacerdotibus, me quoque tanquam uno ex vobis præsente (neque enim negaverim id quo maximè exulto, conservum me vestrum esse) cuncta competenti examine eo usque discussa sunt, donec Inspectori omnium Deo accepta sententia, ad unitatis concentum proferretur in lucem. Itaque nullus dissensioni, nullus controversiæ de fide locus ampliùs relinqueretur.

## Caput XVIII.

*De consensu in celebratione festi Paschalis, & contra Iudæos.*

VBi cùm de sanctissimo etiam Paschæ die quæsitum fuisset, communi omnium sententia decretum est, eam festivitatem uno eodemque die ab omnibus ubique celebrari oportere. Quid enim pulchrius, quid honestius nobis esse possit, quàm ut hæc festivitas, à qua spem immortalitatis accepimus, uno eodémque ordine & certa ratione ab omnibus inoffensè observetur? Ac primùm quidem visa est omnibus res esse prorsus indigna, ut in sanctissimæ hujus solemnitatis celebratione consuetudinem Judæorum sequeremur; qui cùm manus suas nefario scelere contaminarint, meritò impuri homines cæcitate mentis laborant. Quippe rejecta illorum consuetudine, possumus rectiori ordine, quem à primo Passionis die ad hæc usque tempora servavimus, ad futura etiam sæcula hujus observantiæ ritum propagare. Nihil ergo nobis commune sit cum inimicissima Judæorum turba. Aliam enim viam à Servatore accepimus. Propositus est sacratissimę religioni nostræ cursus legitimus & honestus. Hunc unanimi consensu retinentes, ab illa turpissima societate & conscientia nos abstrahamus, fratres carissimi. Est enim profectò absurdissimum quod illi magnificè jactant, nos absque ipsorum magisterio hæc commodè observare non posse. Quidnam verò illi rectè sentire possint, qui post necem Domini, post illud parricidium mente capti, non ratione, sed præcipiti impetu feruntur, quocumque innatus furor ipsos impulerit. Hinc est quod ne

A. λαβεῖν, εἰ μὴ εἰς ταὐτὸ πάντων ὁμοῦ, ἢ τῶν γοῦν πλειόνων Ἐπισκόπων συνελθόντων, ἑκάστου τῶν προσηκόντων τῇ ἁγιωτάτῃ θρησκείᾳ διάκρισις γένοιτο. τούτου ἕνεκεν πλείστων ὅσων συναθροισθέντων. αὐτὸς δὲ καθάπερ εἷς ἐξ ὑμῶν ἐτύγχανον συμπαρὼν (οὐ γὰρ ἀρνησαίμην ἄν, ἐφ' ᾧ μάλιστα χαίρω, συνθεράπων ὑμέτερος πεφυκέναι) ἄχρι τοσούτου ἅπαντα τῆς προσηκούσης τετύχηκεν ἐξετάσεως, ἄχρις οὗ ἡ τῷ πάντων ἐφόρῳ Θεῷ ἀρέσκουσα γνώμη, πρὸς τὴν τῆς ἑνότητος συμφωνίαν εἰς φῶς προήχθη. B ὡς μηδὲν ἔτι πρὸς διχόνοιαν ἢ πίστεως ἀμφισβήτησιν, ὑπολείπεσθαι.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

Τοῦ αὐτοῦ περὶ συμφωνίας τῆς τοῦ Πάσχα ἑορτῆς, καὶ κατὰ Ἰουδαίων.

ΕΝθα καὶ περὶ τῆς τοῦ Πάσχα ἁγιωτάτης ἡμέρας, γενομένης ζητήσεως, ἔδοξε κοινῇ γνώμῃ καλῶς ἔχειν, ἐπὶ μιᾶς ἡμέρας πάντας τοὺς ἁπανταχοῦ ἐπιτελεῖν. τί γὰρ ἡμῖν κάλλιον, τί δὲ σεμνότερον ὑπάρξαι δυνήσεται, τοῦ τὴν ἑορτὴν ταύτην παρ' ἧς τὰς τῆς ἀθανασίας εἰλήφαμεν ἐλπίδας, μιᾷ τάξει καὶ φανερῷ λό- C γῳ παρὰ πᾶσιν ἀδιαπτώτως φυλάττεσθαι; καὶ πρῶτον μὲν ἀνάξιον ἔδοξεν εἶναι, τὴν ἁγιωτάτην ἐκείνην ἑορτὴν τῇ τῶν Ἰουδαίων ἑπομένους συνηθείᾳ πληροῦν· οἳ τὰς ἑαυτῶν χεῖρας ἀθεμίτῳ πλημμελήματι χράναντες, εἰκότως τὰς ψυχὰς οἱ μιαροὶ τυφλώττουσιν. ἔξεστι γὰρ τοῦ ἐκείνων ἔθνους ἀποβληθέντος, ἀληθεστέρᾳ τάξει, ἣν ἐκ πρώτης τοῦ πάθους ἡμέρας ἄχρι τοῦ παρόντος ἐφυλάξαμεν, καὶ ἐπὶ τοὺς μέλλοντας αἰῶνας τὴν τῆς ἐπιτηρήσεως ταύτης συμπλήρωσιν ἐκτείνεσθαι. μηδὲν τοίνυν ἔστω ὑμῖν κοινὸν μετὰ τοῦ ἐχθίστου τῶν Ἰουδαίων ὄχλου. εἰλήφα- D μεν γὰρ παρὰ τοῦ Σωτῆρος ὁδὸν ἑτέραν· πρόκειται δρόμος τῇ ἱερωτάτῃ ἡμῶν θρησκείᾳ καὶ νόμιμος καὶ πρέπων. τούτου συμφώνως ἀντιλαμβανόμενοι, τῆς αἰσχρᾶς, ἐκείνης ἑαυτοὺς συνειδήσεως ἀποσπάσωμεν ἀδελφοὶ τιμιώτατοι. ἔστι γὰρ ὡς ἀληθῶς ἀτοπώτατον, ἐκείνους αὐχεῖν ὡς ἄρα παρεκτὸς τῆς αὐτῶν διδασκαλίας ταῦτα φυλάττειν οὐκ εἴημεν ἱκανοί. τί δὲ φρονεῖν ὀρθὸν ἐκεῖνοι δυνήσονται, οἳ μετὰ τὴν κυριοκτονίαν τε καὶ πατροκτονίαν ἐκείνην ἐκστάντες τῶν φρενῶν, ἄγονται οὐ λογισμῷ τινι, ἀλλ' ὁρμῇ ἀκατασχέτῳ, ὅποι δ' ἂν αὐτοὺς ἡ ἔμφυτος αὐτῶν ἀγ